eul_wid: rrg-ap

*Χρυσοποιὸς Αʹ* · Alchemist I

# What is the Management After Healing

*Τίς ἡ μετὰ τὴν ἴωσιν οἰκονομία*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.375.(1t) ΤΙΣ Η ΜΕΤΑ ΤΗΝ ΙΩΣΙΝ ΟΙΚΟΝΟΜΙΑ Ἐξαιθριώσαι μετὰ τὴν ἴωσιν ἡμέρας εʹ τὸ φάρμακον, κατὰ τὴν παραίνεσιν Ἴσιδο ς . Εἰ μὲν ξηρίον βούλει σκευάζειν, μῖξον ἀλλήλοις τὰ μόρια τοῦ συνθέματος, σεσηπός φημι καὶ τὸ ἄσηπτον, ὑγρὸν καὶ ξηρόν. Καὶ λειώσας ἐν ἡλίῳ ἢ σκιᾷ, κατάθου ἐν ἱππείᾳ. Εἰ δὲ ὑγρὸν ἐπείγῃ φάρμακον ἐκτελεῖν, μίξας ἄμφω τὰ ὕδατα, καὶ ἀσφαλισάμενος ἐν τοῖς ἄγγεσιν, ἀπόδος τῇ τῶν βολβίτων πυρίᾳ τρεῖς ἢ πέντε μόνον ἡμέρας, καὶ λειοτριβήσας, ἔχε τέλειον τὸ ξηρίον.